Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: tyc-ak

*Ζώσιμος ὁ Πανοπολίτης* · Zosimus of Panopolis

# Advisory Recommendations for Practitioners of the Art

*Παραινέσεις συστατικαὶ τῶν ἐγχειρούντων τὴν τέχνην*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

1 ΠΑΡΑΙΝΕΣΕΙΣ ΣΥΣΤΑΤΙΚΑΙ ΤΩΝ ΕΓΧΕΙΡΟΥΝΤΩΝ ΤΗΝ ΤΕΧΝΗΝ Παρεγγυῶ τοίνυν ὑμῖν τοῖς σοφοῖς, ὅτι ἄνευ τοῦ ὀργάνου τοῦ τὸν χαλκὸν ἀνασπῶντος μετὰ τὸν τεταγμένον τῆς ἰώσεως χαλκὸν πολὺν ὄντα ἢ ὀλίγον, καὶ τῆς μίξεως τῶν λεγομένων δέκα εἰδῶν, ξηρῶν ἢ ὑγρῶν ὄντων, τουτέστι τῶν ὁμοτεριζόντων, μὴ ἐλπίζετέ τι ποιεῖν, ὦ ἄνθρωποι οἵ τινες ἂν εἴητε τοῦ χρυσοῦ χοροῦ, ἢ χρυσέου γένους, ἢ χρυσέας κεφα λῆς παίδων, τουτέστιν ἐρασταὶ τῆς σοφίας, καὶ τῆς λεκιθώδους ὕλης μεθοδευταί. Ἀλλ᾽ ὅσοι τοῦ ὀστρακίνου χοροῦ ὑμεῖς ἑαυτοὺς μωμήσασθε, καὶ οὐ ἐμὲ τὸν τοῖς διδασκάλοις ἀκολουθεῖν ἐπειγόμενον καὶ ταῖς αὐτῶν συγγραφαῖς, καὶ τὰς ἐκείνων δόξας γνωρίσαντα ὑμῖν, καθὼς ἂν ἡ τοῦ θείου λόγου ἡμῖν ἐνήχησεν δύναμις.

2.145 Τοῦτο τὸ ὕδωρ τὸ δίχρωμον, τὸ λευκὸν καὶ ξανθὸν, μυρίοις κεκλήκασιν ὀνόμασιν. Ἄνευ οὖν τοῦ θείου ὕδατος οὐδέν ἐστιν. Τὸ γὰρ ὅλον σύνθεμα δι᾽ αὐτοῦ ἀναλαμβάνεται, καὶ δι᾽ αὐτοῦ ὀπτᾶται, .

2.145 καὶ δι᾽ αὐτοῦ καίεται, καὶ δι᾽ αὐτοῦ πήγνυται, καὶ δι᾽ αὐτοῦ ξανθοῦται, καὶ δι᾽ αὐτοῦ σήπεται, καὶ δι᾽ αὐτοῦ βάπτεται, καὶ δι᾽ αὐτοῦ ἰοῦται καὶ ἐξιοῦται καὶ ἑψεῖται. Φησὶ γάρ· «Ἐπιβάλλων ὕδωρ θείου ἄθικτον καὶ κόμμι ὀλίγον, πᾶν σῶμα βάψεις. Ὅσα γὰρ ἀπὸ ὕδατος ἔσχον γέννησιν, ταῦτα τοῖς ἀπὸ πυρὸς ἀντιπάσχει· ὥστε ἄνευ τοῦ καταλόγου τῶν ὑγρῶν πάντων, οὐδέν ἐστιν ἀσφαλές.» Ἐμνημόνευσαν δέ τινες, τάχα δὲ καὶ οἱ ὅλοι, ὅτι δεῖ τοῦτο τὸ ὕδωρ ζύμης χάριν καταφθεῖραι τῷ ὁμοίῳ τὸ ὅμοιον τοῦ μέλλοντος βάπτεσθαι σώματος. Ὡς γὰρ ἡ ζύμη τοῦ ἄρτου, ὀλίγη οὖσα, τοσοῦτον φύραμα ζυμοῖ, οὕτω καὶ τὸ μικρὸν χρυσίον τὸ πᾶν μέλλει ξηρίον ζυμοῦν. Ἄλλοι δὲ, ἀμφότερα μίξαντες τοῖς ὑπολείμμασι τῶν θειωδῶν, χρύσεα χρυσέοις προσέπλεξαν, καὶ τούτων οἱ μὲν τοῖς ὠμοῖς καὶ ἀσήπτοις, οἱ δὲ τοῖς συνεψηθεῖσι τῷ ὕδατι τῆς ἰώσεως.

2.145 Ἄνω τὰ οὐράνια καὶ κάτω τὰ ἐπίγεια· δι᾽ ἄρρενος καὶ θήλεως συμπληρούμενον τὸ ἔργον.